3/

# ΠΑΙΑΝ

## ΕΙΣ ΤΟΝ ΤΕΧΘΕΝΤΑ ΔΙΑΔΟΧΟΝ ΤΟΥ ΕΛΛΗΝΙΚΟΥ ΘΡΟΝΟΥ.

Ἠΰτε πῦρ ἐν νυκτὶ ἀπ᾿ οὔρεος ὑψόσ᾿ ἔλαμψεν
Ἀσπάσιον ναύτῃσι, πόνον δύστλητον ἔχουσι,
Πόντον ἐπ᾿ ἠχήεντα, ὅτε σπέρχωσιν ἄελλαι
Ἀντίαι ἀλλήλῃσιν, ὀρίνουσαι μέγα λαῖτμα·
Ὣς ἄμμιν προφάνη ἱερῷ ἐνὶ Παλλάδος ἄστει
Τρίλλιστος μεδέων, ἀστὴρ φαεσίμβροτος αὔτως,
Ὃν τέκεθ᾿ ἡμετέρῳ Ποιμάνορι Ὄλγα εὐῶπις,
Ῥωμανιδέων τηλεκλειτὸν θάλος εὐρυανάκτων,
Οἳ σκῆπτρ᾿ ἰθύνουσι θεμίστια Ῥωσσίδος αἴης.

Ὡς δ᾿ ἀπὸ κρητήρων αἰπῆς νιφοείμονος Αἴτνης,
Δεινὸν ἐρευγομένης βαρυηχὴς ὄρνυται δοῦπος,
Ἔκ τ᾿ ἔφανον φλογόεσσαι πυρὸς γνάθοι, αὐτὰρ ἀϋτμὴ
Οὐρανὸν ἤϊξ᾿, ὑπὸ δ᾿ ἐσείσθη πᾶσα περὶ χθών·
Ὣς ἄρ᾿ ἀπ᾿ ἀκροπόληος Ἀθηνέων ἐσμαράγησαν
Χαλκοβαρεῖς ὄλμοι, πυρχεύμονες, αἰολόκυκλοι,
Ἀγγελέοντες πᾶσι φόως δ᾿ ἐλθόντα ἄνακτα·
Ἀλλ᾿ ἄγεθ᾿, ὡς ἐπέοικεν, ἀείσατε, Ἑλλάδος υἷες,
Γηθοσύνῳ κραδίῃ παιήονα μαλθακόφωνον,
Κυδαίνοντες ἔπεσσιν ἀγέστρατον ἀρτιγένεθλον·
Οὐ γὰρ σχήσει τόν δε πυρὸς μένος οὔτε σιδήρου,
Ὁππότε κεν κρίνηται ἀγάστονον ἔργον Ἄρηος,
Λογχοβρόμου χάρμης Ἑλλήνων Ὀθμανιδῶν τε.

Χαῖρε ἄναξ, τοκέων ἐρικυδέων ἀγλαὸν ἔρνος !
Ἐν σοὶ νῦν σκῆπτρον βασιλήϊον Ἑλλάδος αἴης
Νωλεμέως πάμπαν καρτύνεται, σεῖο δ᾿ ἔχονται
Ἑλλήνων υἷες ταλακάρδιοι, αἰνὰ παθόντες·
Σὺ δ᾿ αὐτοῖσιν ἔπλευ κεχαρισμένος, ἕρμα τε πάτρης,
Ὕβριν ἀεικελίην ὑπερήνορα πᾶσιν ἀμύνειν·
Σοὶ νῦν καὶ Κρήτη πολυτλήμων ὅσσ᾿ ἐπιάλλει,
Ἡρώων γενέτειρα δορικρατέων, μεγαθύμων,
Οἳ δίετες μάρνανται ἀλαλκεῖν δούλιον ἦμαρ·
Δυσμενέων ὄχλον δηλήμονα μυριολόγχην
Ἐξελάαν μεμαῶτες ἀπὸ σφείων φυγάδ᾿ αὖτις·
Ἤπειρός τε μένει σε καὶ Θεσσαλίῃ βαθυλείμων,
Καὶ Μακεδὼν χώρη, νιφοβλῆτός τ᾿ ἄγκεα Θρῄκης·
Ἔνθ᾿ ἄρα τοι πέπρωται ἀρεισθενὲς εὖχος ἀρέσθαι.
Τόφρα δ᾿ ἐνὶ μεγάροισι πατρὸς Βασιλῆος ἀέξων
Θυμὸν τολμήεντα, δέμας τε Θεοῖσιν ἀγητὸν,
Πλείστῃ ἐν θαλίῃ ποτιτέρπεο νηπιαχεύων.

Ἄμμες δ᾿ ἀντόμενοι κελαδήσομεν Ὑψιμέδοντα
Σεῦ τοκέας τ᾿ εἴρυσθαι ἀπήμονας ἔμπεδον αἰεὶ,
Σκηπτούχου τιμῆς βασιλήϊον ἱρὸν ἄωτον·
Αὐτὸν τ᾿ ἄρ σε σόειν ἡγήτορα, κλεινὸν ἄνακτα,
Ἐθνοσόον, θοῦρον, πυκινόφρονα, Κωνσταντῖνον.

Χ. Στρατηγός.

Κερκύρα τῇ 24 Ἰουλίου 1868.

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ
ΣΥΛΛΟΓΗ Π. ΠΑΤΡΙΚΙΟΥ
Α1.Σ5.Φ1.0059

ΙΑΚΩΒΑΤΕΙΟΣ
ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΜΟΥΣΕΙΟ ΛΗΞΟΥΡΙΟΥ